ΠΟΛΥΞ. ἐκεῖ δ' ἐν Ἅιδου κείσομαι χωρὶς σέθεν.
ΕΚ. οἴμοι τί δράσω; ποῖ τελευτήσω βίον;
ΠΟΛΥΞ. δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
ΕΚ. ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμοροι τέκνων.
ΠΟΛΥΞ. τί σοι πρὸς Ἕκτορ' ἢ γέροντ' εἴπω πόσιν;
ΕΚ. ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ.
ΠΟΛΥΞ. ὦ στέρνα μαστοί θ' οἵ μ' ἐθρέψαθ' ἡδέως.
ΕΚ. ὦ τῆς ἀώρου θύγατερ ἀθλία τύχης.
ΠΟΛΥΞ. χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασσάνδρα τέ μοι.
ΕΚ. χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν τόδε.
ΠΟΛΥΞ. ὅ τ' ἐν φιλίπποις Θρῃξὶ Πολύδωρος κάσις.
ΕΚ. εἰ ζῇ γ'· ἀπιστῶ δ'· ὧδε πάντα δυστυχῶ.
ΠΟΛΥΞ. ζῇ καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν.
ΕΚ. τέθνηκ' ἔγωγε πρὶν θανεῖν κακῶν ὕπο.
ΠΟΛΥΞ. κόμιζ', Ὀδυσσεῦ, μ' ἀμφιθεὶς κάρα πέπλοις·
ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
θρήνοισι μητρὸς, τήνδε τ' ἐκτήκω γόοις.
ὦ φῶς· προσειπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι,
μέτεστι δ' οὐδὲν πλὴν ὅσον χρόνον ξίφους
βαίνω μεταξὺ καὶ πυρᾶς Ἀχιλλέως.
ΕΚ. οἳ 'γώ· προλείπω· λύεται δέ μου μέλη.
ὦ θύγατερ, ἅψαι μητρὸς, ἔκτεινον χέρα,
δός· μὴ λίπῃς μ' ἄπαιδ', ἀπωλόμην, φίλαι.
[ὣς τὴν Λάκαιναν ξύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.]
ΧΟ. αὔρα, ποντιὰς αὔρα, στρ. α΄.
ἅτε ποντοπόρους κομίζεις
θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
ποῖ με τὰν μελέαν πορεύσεις;
τῷ δουλόσυνος πρὸς οἶκον
κτηθεῖσ' ἀφίξομαι;
ἢ Δωρίδος ὅρμον αἴας,
ἢ Φθιάδος, ἔνθα καλλίστων ὑδάτων πατέρα
φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;
ἢ νάσων, ἁλιήρει ἀντ. α΄.